aut determinatè ad eos, aut ad vnum: vt puta, duplum quidem ad vnum, numerus determinatus: multiplex verò ſecundum numerum ad vnum, non tamen determinatum, vt hunc, vel hunc: ſeſquialterum verò ad ſeſquialterum ſecundum numerum ad numerum determinatum: ſuper partiens autem ad ſuppartientem ſecundum indeterminatum, ſicuti multiplex ad vnum: excedens autem ad exceſſum, omnino indeterminatum ſecundum numerum. Numerus enim commenſurabilis ſecundum vero incommenſurabilem numerum dicitur. Excedens enim ad exceſſum tantum eſt, & vltrà: hoc verò, inde terminatum eſt. Quodcunque enim contingit, eſt aut æquale, aut non æquale. Hæc itaque ad aliquid omnia ſecundum numerum dicuntur, & numeri paſſiones ſunt. Et adhuc æquale, ſimile, & idem ſecundum alium modum. Secundum vnum etenim omnia dicuntur. Eadem enim ſunt, quorum ſubſtantia vna. Similia verò, quorum qualitas vna. Æqualia autem, quorum quantitas vna. Ipſum verò vnum, numeri principium, & menſura. Vnde hæc omnia ad aliquid dicuntur ſecundum numerum quidem, non tamen eodem modo. Actiua verò & paſſiua, ſecundum actiuam & paſſiuam potentiam, & potentiarum actiones: vtputa calefactiuum ad calefactabile, quoniam poſſunt: & rurſus calefaciens ad id quod calefit, & ſecans ad id, quod ſecatur, vt agentia. Eorum autem, quæ ſecundum numerum ſunt, non ſunt actiones, niſi quemadmodum in aliis dictum eſt. Sed ſecundum motum actiones non exiſtunt. Eorum verò quæ ſecundum potentiam, etiam ſecundum tempora iam dicuntur ad aliquid: veluti quod fecit, ad id, quod factum eſt: & id, quod facturum eſt, ad id, quod faciendum eſt. Sic enim pater quoque filij pater dicitur: hoc enim fecit, at illud paſſum quid eſt. Item, quædam ſecundum priuationem potentiæ, vt impoſſibile: & quæcunque ita dicuntur, vt inuiſibile. Quæcunque igitur ſecũdum numerum & potentiam ad aliquid dicuntur, cũcta ſunt ad aliquid, eo quòd ipſum quod eſt alterius, dicitur ipſum, quod eſt, ſed nõ eo quod aliud ad illud. Mẽſurabile, & ſcibile, intelligibile, eò quòd aliud ad illud dicitur. Nam intelligibile ſignificat, quòd eius eſt intellectus. Non eſt autẽ intellectus ad illud, cuius intellectus eſt. Idẽ enim profectò bis dictũ eſſet. Similiter & viſus cuiuſdã eſt viſus, nõ cuius eſt viſu

ſ,

A ἢ ὡρισμένως πρὸς αὐτὸν, ἢ πρὸς ἕν· οἷον, τὸ μὲν διπλάσιον πρὸς ἕν, ἀριθμὸς ὡρισμένος· τὸ δὲ πολλαπλάσιον, ἢ κατ᾽ ἀριθμὸν πρὸς ἕν, οὐχ ὡρισμένον δέ· οἷον, τόνδε, ἢ τόνδε. τὸ δὲ ἡμιόλιον, πρὸς τὸ ὑφημιόλιον κατ᾽ ἀριθμὸν, πρὸς ἀριθμὸν ὡρισμένον. τὸ ἐπιμόριον, πρὸς τὸ ὑπεπιμόριον κατὰ ἀόριστον, ὥσπερ τὸ πολλαπλάσιον πρὸς τὸ ἕν· τὸ δ᾽ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριστον κατ᾽ ἀ-

B ριθμόν. ὁ γὰρ ἀριθμὸς σύμμετρος· κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται. τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον, τοσοῦτόν τέ ἐστι, καὶ ἔτι. τοῦτο δὲ ἀόριστον. ὁπότερον γὰρ ἔτυχεν, ἐστὶν ἢ ἴσον, ἢ οὐκ ἴσον. ταῦτά τε οὖν τὰ πρός τι ἅπαντα κατ᾽ ἀριθμὸν λέγεται, καὶ ἀριθμοῦ πάθη· καὶ ἔτι τὸ ἴσον καὶ ὅμοιον καὶ ταὐτὸ, κατ᾽ ἄλλον τρόπον. κατὰ γὰρ τὸ ἓν λέγεται πάντα. ταὐ-

C τὰ μὲν γὰρ, ὧν μία ἡ οὐσία· ὅμοια δ᾽, ὧν ἡ ποιότης μία· ἴσα δὲ, ὧν τὸ ποσὸν ἕν. τὸ δὲ ἓν, τοῦ ἀριθμοῦ ἀρχὴ καὶ μέτρον. ὥστε ταῦτα πάντα πρός τι λέγεται, κατ᾽ ἀριθμὸν μὲν, οὐ τὸν αὐτὸν δὲ τρόπον. τὰ δὲ ποιητικὰ καὶ παθητικὰ, κατὰ δύναμιν ποιητικήν τε καὶ παθητικὴν, καὶ ἐνεργείας τὰς τῶν δυνάμεων· οἷον τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν, ὅτι δύναται· καὶ πάλιν τὸ θερμαῖνον πρὸς τὸ θερ-

D μαινόμενον, καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον, ὡς ἐνεργοῦντα. τῶν δὲ κατ᾽ ἀριθμὸν, οὐκ εἰσὶν ἐνέργειαι, ἀλλ᾽ ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται· αἱ δὲ κατὰ κίνησιν ἐνέργειαι, οὐχ ὑπάρχουσι. τῶν δὲ κατὰ δύναμιν καὶ κατὰ χρόνους, ἤδη λέγονται τὰ πρός τι· οἷον τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον, καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. οὕτω γὰρ καὶ πα-

E τὴρ υἱοῦ λέγεται πατήρ. τὸ μὲν γὰρ πεποιηκὸς, τὸ δὲ πεπονθός τί ἐστιν. ἔτι ἔνια κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον, καὶ ὅσα οὕτω λέγεται, οἷον τὸ ἀόρατον. τὰ μὲν οὖν κατ᾽ ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι, πάντα ἐστὶ πρός τι, τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ἐστὶν, ἀλλὰ μὴ τῷ ἄλλου πρὸς ἐκεῖνο. τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν, καὶ τὸ διανοητὸν τῷ ἄλλου πρὸς αὐτὰ λέγεσθαι, πρός

F τι λέγεται. τό, τε γὰρ διανοητὸν σημαίνει, ὅτι ἐστὶν αὐτοῦ διάνοια· οὐκ ἔστι δ᾽ ἡ διάνοια πρὸς τοῦτο, οὗ ἐστι διάνοια. δὶς γὰρ ταὐτὸν εἰρημένον ἂν εἴη. ὁμοίως δὲ καὶ τινός ἐστιν ἡ ὄψις, οὐχ οὗ ἐστιν ὄψις. καίτοι ἀληθὲς τοῦτο εἰπεῖν· ἀλ-

λὰ πρὸς